# Eulogikon

Ancient Greek Texts — Free & Open source

eul_wid: hcq-ab

*Τιμοκλῆς ὁ κωμῳδιοποιός* · Timocles B Comic Poet

# Comic Fragments on Demagogues

*Ἀποσπάσματα περὶ Δημαγωγῶν*

**Period:** *Κλασική* Classical
**Dialect:** *Μικταὶ διάλεκτοι* Mixed Dialects (frg)
**Domain:** *Κωμῳδία* Comedy
**Format:** *Ἔμμετρος* Verse

book 1.1 Πῶς ἂν μὲν οὖν σώσειεν ἶβις ἢ κύων; ὅπου γὰρ εἰς
book 1.2 τοὺς ὁμολογουμένους θεοὺς ἀσεβοῦντες οὐ διδόασιν εὐθέως δίκην, τίν’ αἰελούρου βωμὸς ἐπιτρίψειεν ἄν;
book 1.1 Γαλεοὺς καὶ βατίδας ὅσα
book 1.2 τε τῶν γενῶν ἐν ὀξυλιπάρῳ τρίμματι
book 1.3 σκευάζεται.
book 1.1 [spk_α]Α. Δημοσθένης τάλαντα
book 1.2 πεντήκοντ’ ἔχει. Β. μακάριος, εἴπερ μεταδίδωσι μηδενί. Α. καὶ Μοιροκλῆς εἴληφε
book 1.3 χρυσίον
book 1.4 πολύ. Β. ἀνόητος ὁ διδούς, εὐτυχὴς δ’ ὁ λαμβάνων.[ln_5]Α. εἴληφε καὶ Δήμων
book 1.5 τι καὶ Καλλισθένης. Β. πένητες ἦσαν, ὥστε
book 1.6 συγγνώμην ἔχω. Α. ὅ τ’ ἐν λόγοισι δεινὸς Ὑπερείδης ἔχει. Β. τοὺς ἰχθυοπώλας οὗτος ἡμῖν
book 1.7 πλουτιεῖ, ὀψοφάγος ὥστε
book 1.8 τοὺς λάρους εἶναι Σύρους.
book 1.1 Οὐδ’ ὁ Χαβρίου Κτήσιππος ἔτι
book 1.2 τρὶς κείρεται, ἐν
book 1.3 ταῖς γυναιξὶ λαμπρὸς οὐκ ἐν ἀνδράσιν.
book 1.1 Ὦ τᾶν, ἄκουσον ἤν τί σοι μέλλω λέγειν. ἄνθρωπός ἐστι ζῷον ἐπίπονον φύσει, καὶ πολλὰ λυπήρ’ ὁ βίος ἐν ἑαυτῷ φέρει. παραψυχὰς οὖν
book 1.2 φροντίδων ἀνεύρατο[ln_5]ταύτας· ὁ γὰρ νοῦς τῶν ἰδίων λήθην λαβών
book 1.3 πρὸς ἀλλοτρίῳ τε
book 1.4 ψυχαγωγηθεὶς πάθει, μεθ’ ἡδονῆς ἀπῆλθε
book 1.5 παιδευθεὶς ἅμα. τοὺς γὰρ
book 1.6 τραγῳδοὺς
book 1.7

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πρῶτον, εἰ βούλει, σκόπει ὡς ὠφελοῦσι πάντας. ὁ μὲν ὢν γὰρ πένης πτωχότερον αὑτοῦ καταμαθὼν τὸν Τήλεφον γενόμενον ἤδη τὴν

book 1.8 πενίαν ῥᾶον φέρει. ὁ νοσῶν

book 1.9 τι μανικὸν Ἀλκμέων' ἐσκέψατο. ὀφθαλμιᾷ τις, εἰσὶ Φινεῖδαι

book 1.10 τυφλοί. τέθνηκέ τῳ παῖς, ἡ Νιόβη κεκούφικεν.

book 1.1 χωλός τίς ἐστι, τὸν

book 1.2 Φιλοκτήτην ὁρᾷ. γέρων

book 1.3 τις ἀτυχεῖ, κατέμαθεν τὸν Οἰνέα. ἅπαντα γὰρ τὰ μείζον' ἢ πέπονθέ τις ἀτυχήματ' ἄλλοις γεγονότ' ἐννοούμενος τὰς αὐτὸς αὑτοῦ συμφορὰς ἧττον

book 1.4 στένει.

book 1.1 [spk_a]Α. Ὁ δ' Ἀχαρνικὸς

book 1.2 Τηλέμαχος ἔτι δημηγορεῖ; Β. οὗτος δ' ἔοικε

book 1.3 τοῖς νεωνήτοις Σύροις. Α. πῶς ἢ τί πράττων; βούλομαι γὰρ εἰδέναι. Β. θάργηλον οὗτος ἀγκάλῃ χύτραν φέρει.

book 1.1 Ἔπειτ' ἐγὼ παράσιτον ἐπιτρέψω

book 1.2 τινὶ κακῶς λέγειν; ἥκιστά γ'· οὐδέν ἐστι γὰρ ἐν

book 1.3 τοῖς

book 1.4 τοιούτοις

book 1.5 χρησιμώτερον γένος. εἰ δ' ἔστι τὸ φιλέταιρον ἕν

book 1.6 τι τῶν καλῶν, ἀνὴρ

book 1.7 παράσιτος

book 1.8 τοῦτο

book 1.9 ποιεῖ διὰ τέλους. ἐρᾷς, συνεραστὴς ἀπροφάσιστος γίγνεται. πράττεις

book 1.10 τι, πράξει

book 1.11 συμπαρὼν ὅ τι ἂν δέῃ, δίκαια

book 1.12 ταὐτὰ τῷ τρέφοντι νενομικώς, ἐπαινέτης θαυμαστὸς οἷος τῶν φίλων. χαίρουσι δείπνων ἡδοναῖς ἀσυμβόλοις. τίς δ' οὐχὶ θνητῶν; ἢ τίς ἥρως ἢ θεὸς ἀποδοκιμάζει τὴν

book 1.13 τοιαύτην διατριβήν; ἵνα μὴ δὲ πολλὰ μακρολογῶ δι' ἡμέρας, τεκμήριόν

book 1.14 τι παμμέγεθες οἶμαί γ' ἐρεῖν,

book 1.1 ὁ τῶν

book 1.2 παρασίτων ὡς

book 1.3 τετίμηται βίος· γέρα γὰρ αὐτοῖς

book 1.4 ταὐτὰ τοῖς τὠλύμπια νικῶσι δίδοται

book 1.5 χρηστότητος οὕνεκα, σίτησις. οὗ γὰρ μὴ τίθενται

book 1.6 συμβολαί, πρυτανεῖα

book 1.7 ταῦτα πάντα

book 1.8 προσαγορεύεται.

book 1.1 Οἴμοι κακοδαίμων, ὡς ἐρῶ. μὰ τοὺς θεούς, Τιθύμαλλος οὐδεπώποτ' ἠράσθη

book 1.2 φαγεῖν οὕτω

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 1.3 σφόδρ’, οὐδὲ Κόρμος ἱμάτιον λαβεῖν, οὐ Νεῖλος ἄλφιτ’, οὐ Κόρυδος ἀσύμβολος[ln_5]κινεῖν ὀδόντας.

book 2.1 Ὁ Δημοτίων δὲ παραμενεῖν αὐτῷ δοκῶν τἀργύριον οὐκ ἐφείδετ’, ἀλλὰ παρέτρεφεν τὸν βουλόμενον. ὁ Χαιρεφῶν μὲν

book 2.2 παντελῶς οἴκαδε βαδίζειν ᾤετ’, ὢ ταλάντατος.[ln_5]καὶ μὴν ἔτι

book 2.3 τοῦτ’ ἔστιν ἄξιον μόνον, τὸν

book 2.4 παραμασήτην λαμβάνει δίκρουν ξύλον· οὔτ’ εὔρυθμος γάρ ἐστιν οὔτ’ ἀχρήματος.

book 1.1 Ἀγορὰν ἰδεῖν εὔοψον εὐποροῦντι μὲν ἥδιστον, ἂν δ’ ἀπορῇ τις ἀθλιώτατον. ὁ γοῦν Κόρυδος ἄκλητος, ὡς ἐμοὶ δοκεῖ, γενόμενος ὠψώνει

book 1.2 παρ’ αὑτὸν οἴκαδε.[ln_5]ἦν δὲ τὸ πάθος γελοῖον, οἴμοι, τέτταρας

book 1.3 χαλκοῦς ἔχων ἄνθρωπος, ἐγχέλεις ὁρῶν θύννεια νάρκας καράβους· ᾑμωδία. καὶ ταῦτα πάντα μὲν

book 1.4 περιελθὼν ἤρετο ὁπόσου, πυθόμενος δ’ ἀπέτρεχ’ εἰς τὰς μεμβράδας.

book 1.1 [spk_β]Οὐκοῦν κελεύεις νῦν με πάντα μᾶλλον ἢ τὰ προσόντα

book 1.2 φράζειν. πάνυ γε δράσω

book 1.3 τοῦτό σοι. Β. καὶ πρῶτα μέν

book 1.4 σοι

book 1.5 παύσεται Δημοσθένης ὀργιζόμενος. Α. ὁ ποῖος; Β. ὁποῖος; ὁ Βριάρεως,[ln_5]ὁ τοὺς καταπέλτας τάς

book 1.6 τε λόγχας ἐσθίων, μισῶν λόγους ἄνθρωπος, οὐδὲ πώποτε ἀντίθετον εἰπὼν οὐδέν, ἀλλ’ Ἄρη βλέπων.

book 2.1 Ὡς δ’ ἦν ἠρμένη βίου

book 2.2 τιθήνη, πολεμία λιμοῦ, φύλαξ

book 2.3 φιλίας, ἰατρὸς ἐκλύτου βουλιμίας, τράπεζα. Β. περιέργως γε νὴ τὸν οὐρανόν,[ln_5]ἐξὸν

book 2.4 φράσαι

book 2.5 τράπεζα

book 2.6 συντόμως.

book 1.1 Ἄνυτος ὁ παχὺς

book 1.2 πρὸς

book 1.3 Πυθιονίκην ὅταν ἐλθὼν φάγῃ τι· καλεῖ γὰρ αὐτόν, ὥς

book 1.4 φασιν, ὁπόταν

book 1.5 Χαιρεφίλου

book 1.6 τοὺς δύο

book 1.7 σκόμβρους ξενίσῃ μεγάλους ἡδομένη.

book 2.1 Ἡ Πυθιονίκη δ’ ἀσμένως

book 2.2 σε δέξεται, καί σου κατέδεται

book 2.3 τυχὸν ἴσως ἃ νῦν ἔχεις λαβὼν

book 2.4 παρ’ ἡμῶν δῶρ’· ἄπληστός ἐστι γάρ, ὅμως δὲ δοῦναί σοι κέλευσον

book 2.5 σαργάνας[ln_5]αὐτήν· ταρίχους εὐπόρως γὰρ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 2.6 τυγχάνει ἔχουσα καὶ σύνεστι

book 2.7 σαπέρδαις δυσίν, καὶ ταῦτ’ ἀνάλτοις καὶ πλατυρρύγχοις

book 2.8 τισίν.

book 3.1 Τόν τ’ ἰχθυόρρουν

book 3.2 ποταμὸν ‘Υπερείδην πέρα, ὃς ἠπίαις

book 3.3 φωναῖσιν ἔμφρονος λόγου κόμποις

book 3.4 παφλάζων ἠπίοις

book 3.5 πυκνώμασιν

book 3.6 πρὸς πᾶν δύσας ἔχει,[ln_5]μισθωτὸς ἄρδει

book 3.7 πεδία

book 3.8 τοῦ δεδωκότος.

book 4.1 Ὥστ’ ἔχειν οὐδὲν

book 4.2 παρ’ ἡμῖν· νυκτερεύσας δ’ ἀθλίως

book 4.3 πρῶτα μὲν

book 4.4 σκληρῶς καθεῦδον, εἶτα Θούδιππος ὁ λέων

book 4.5 παντελῶς ἔπηξεν ἡμᾶς, εἶθ’ ὁ λιμὸς ἥπτετο. ἐφέρετο

book 4.6 πρὸς Δίωνα τὸν διάπυρον· ἀλλὰ γὰρ[ln_5]οὐδ’ ἐκεῖνος οὐδὲν εἶχε. πρὸς δὲ τὸν

book 4.7 χρηστὸν δραμὼν

book 4.8 Τηλέμαχον Ἀχαρνέα

book 4.9 σωρόν

book 4.10 τε κυάμων καταλαβὼν ἁρπάσας

book 4.11 τούτων ἐνέτραγον. ὁ δ’ ὄνος ἡμᾶς ὡς ὁρᾷ, [ὡσπερεὶ] Κηφισόδωρος

book 4.12 περὶ τὸ βῆμ’ ἐπέρδετο.

book 1.1 Ἤδη

book 1.2 προσενήνεκται. τί μέλλεις; σπεύδετε, ὦ τᾶν. ὁ γὰρ

book 1.3 Τιθύμαλλος οὕτως ἀνεβίω κομιδῇ τεθνηκώς, τῶν ἀν’ ὀκτὼ τοὐβολοῦ θέρμους μαλάξας. οὐκ ἀπεκαρτέρησε γὰρ[ln_5]ἐκεῖνος, ἀλλ’ ἐκαρτέρης’, ὦ φίλτατε, πίνων.

book 1 Τιθύμαλλον αὐτὸν καὶ παράσιτον ἀποκαλῶν.

book 1.1 Πατάξω τ’ ἴσον ἴσῳ ποτηρίοις μεγάλοις ἅπασαν τὴν ἀλήθειαν

book 1.2 φράσαι.

book 1.1 Μετὰ τοῦτον αὐτῷ Τηλέμαχος

book 1.2 συνετύγχανεν. καὶ τοῦτον ἀσπασάμενος ἡδέως πάνυ ἔπειτα „χρῆσόν μοι σύ, φησί, τὰς χύτρας ἐν αἷσιν ἧψες

book 1.3 τοὺς κυάμους.“ καὶ ταῦτά τε[ln_5]εἴρητο καὶ παριόντα

book 1.4 Φείδιππον πάνυ τὸν

book 1.5 Χαιρεφίλου πόρρωθεν ἀπιδὼν τὸν

book 1.6 παχὺν ἐπόππυσεν, εἶτ’ ἐκέλευσε πέμπειν

book 1.7 σαργάνας.

book 1.1

Ὅσον τὸ μεταξὺ μετὰ κορίσκης ἢ μετὰ χαμαιτύπης τὴν νύκτα κοιμᾶσθαι, βαβαί. ἡ στιφρότης, τὸ χρῶμα, πνεῦμα, δαίμονες, τό τε μὴ σφόδρ’ εἶναι πάνθ’ ἕτοιμα, δεῖν δέ τι[ln_5]ἀγωνιᾶσαι καὶ ῥαπισθῆναί τε καὶ πληγὰς λαβεῖν ἁπαλαῖσι

book 1.2 χερσίν· ἡδύ γε νὴ τὸν Δία τὸν μέγιστον.

book 1.1 Ἀλλ’ ἔγωγ’ ὁ δυστυχὴς

book 1.2 Φρύνης ἐρασθείς, ἡνίκ’ ἔτι τὴν κάππαριν

book 1.3 συνέλεγεν οὔπω τ’ εἶχεν ὅσαπερ νῦν ἔχει, πάμπολλ’ ἀναλίσκων ἐφ’ ἑκάστῳ τῆς θύρας[ln_5]ἀπεκλειόμην.

book 2.1 Ἔπειτα διά τε

book 2.2 ταῦτ’ ἀναρίστητος ὤν.

book 1.1 Περὶ δὲ τὸν

book 1.2 πανάθλιον εὕδουσι γρᾶες, Νάννιον, Πλαγγών, Λύκα, Γνάθαινα, Φρύνη, Πυθιονίκη, Μυρρίνη, Χρυσίς, Κοναλλίς, Ἱερόκλεια, Λοπάδιον.

book 1.1 Εἶθ’ ὁ Καλλιμέδων ἄφνω ὁ Κάραβος

book 1.2 προσῆλθεν, ἐμβλέπων δ’ ἐμοί, ὡς γοῦν ἐδόκει, πρὸς ἕτερον ἄνθρωπόν

book 1.3 τινα ἐλάλει, συνιεὶς δ’ οὐδὲν εἰκότως ἐγώ[ln_5]ὧν ἔλεγεν ἐπένευον διακενῆς· τῷ δ’ ἄρα βλέπουσι

book 1.4 χωρὶς καὶ δοκοῦσιν αἱ κόραι.

book 1.1 Πολλοὺς γὰρ ἐνίοθ’ ἡ πενία βιάζεται ἀνάξι’ αὑτῶν ἔργα

book 1.2 παρὰ φύσιν

book 1.3 ποιεῖν.

book 1.1 Εὑρήσεις δὲ τῶν ἐπισιτίων

book 1.2 τούτων

book 1.3 τινάς, οἳ δειπνοῦσιν ἐσφυδωμένοι τἀλλότρι’, ἑαυτοὺς ἀντὶ κωρύκων δέρειν

book 1.4 παρέχοντες ἀθληταῖσιν.

book 1.1 Ὁ Μισγόλας οὐ προσιέναι

book 1.2 σοι

book 1.3 φαίνεται, ἀνθοῦσι

book 1.4 τοῖς νέοισιν ἠρεθισμένος.

book 1.1 Τοῖς μὲν

book 1.2 τεθνεῶσιν ἔλεος ἐπιεικὴς θεός, τοῖς ζῶσι δ’ ἕτερον ἀνοσιώτατον

book 1.3 φθόνος.

book 1.1 Ἀνοίγετ’ ἤδη τὰς θύρας, ἵνα

book 1.2 πρὸς τὸ φῶς ὦμεν καταφανεῖς μᾶλλον, ἐφοδεύων ἐὰν βούληθ’ ὁ γυναικονόμος τὸν ἀριθμὸν λαμβάνειν, κατὰ τὸν νόμον τὸν καινὸν ὅπερ εἴωθε δρᾶν,[ln_5]τῶν ἑστιωμένων. ἔδει δὲ τοὔμπαλιν τὰς τῶν ἀδείπνων ἐξετάζειν οἰκίας.

book 1.1 Καταμαθὼν δὲ κειμένην θερμὴν

book 1.2 σκάφην θερμῶν ἰπνιτῶν ἤσθιον.

book 1.1 Ὅστις

book 1.2

Eulogikon public reading copy · View original HTML at eulogikon.org

φοβεῖται τὸν
book 1.3 πατέρα κᾀσχύνεται, οὗτος
book 1.4 πολίτης ἀγαθὸς ἔσται κατὰ λόγον, καὶ τοὺς
book 1.5 πολεμίους δυνάμενος κακῶς
book 1.6 ποιεῖν.
book 2.1 Τἀργύριόν ἐστιν αἷμα καὶ ψυχὴ βροτοῖς. ὅστις δὲ μὴ ἔχει
book 2.2 τοῦτο μηδ’ ἐκτήσατο, οὗτος μετὰ ζώντων
book 2.3 τεθνηκὼς
book 2.4 περιπατεῖ.
book 3.1 Χῖοι
book 3.2 πολὺ ἄριστ’ ἀνευρήκασιν ὀψαρτυτικήν.
book 4 Μὰ γῆν, μὰ κρήνας, μὰ ποταμούς, μὰ νάματα.
book 5 Σῦκ’ ἔλαιον ἰσχάδας μέλι.
book 5 [spk_β]B. σὺ μὲν εἰρεσιώνην οὐ γεωργίαν λέγεις.

Eulogikon public reading copy · View original HTML at eulogikon.org